## *Συναξάριον.*

Τὸ τοῦ Μηναίου καὶ εἶτα τὸ ἑξῆς:

Τῇ αὐτῇ, Μνήμη τῶν Ὁσίων Πατέρων Γεωργίου τοῦ νέου, καὶ Γερβασίου τοῦ διὰ Χριστὸν Σαλοῦ, τῶν ἐκ Γοματίου Χαλκιδικῆς καταγομένων.

*Ψυχὴν γεωργήσας ἀγάπης ἀρότρῳ,*
*ὡς πάγκαρπος ὤφθης, Γεώργιε, φοῖνιξ.*
*Ὡς ἄλλος Ἀνδρέας σαλὸς ἐν τῷ Ἄθῳ,*
*ἔβίωσας ἄρτι, Γερβάσιε θεῖε.*

Ὁ Ὅσιος Γεώργιος, ἤνθησεν ἐν τοῖς ἐσχάτοις χρόνοις. Μετερχόμενος τὸ ἔργον τοῦ μυλωθροῦ, τοὺς αὐτὸν αἰτουμένους ἐχόρτασε δι’ ἄρτου. Κρίμασι οἷς οἶδεν ὁ Κύριος, ἀφήρπασε τὴν αὐτοῦ οἰκογένειαν ἐν τοῖς χαλεποῖς τῆς δουλείας χρόνοις καὶ οὗτος μόνος πλέον ἀνελθὼν εἰς δυσπρόσιτον σπήλαιον, θεαρέστως ἠσκήτευσεν. Διερχόμενος τὸν βίον ἐν ἀδιαλείπτῳ προσευχῇ καὶ ἀκροτάτῃ νηστείᾳ, οὐ παρέλειπεν οἰκονόμος τρυχομένων γίγνεσθαι καὶ πενήτων τροφὸς προθυμότατος. Νύκτωρ ἐφοδίαζε τοὺς χρείαν ἔχοντας καυσοξύλοις καὶ λαχάνοις, ἵνα μὴ γνωσθῇ ἡ ἄκρα αὐτοῦ φιλανθρωπία. Ἀμπελώνων πενήτων ἐργάτης ἐγένετο καὶ ποιμνίων βοσκὸς τῶν ἀσθενούντων. Ἀσκήσει οὖν καὶ φιλαλληλίᾳ διάγων ἀπῆλθε πρὸς Κύριον, ἵνα λάβῃ τὸ ἀντιμίσθιον τῶν αὐτοῦ πόνων. Τὸ τίμιον αὐτοῦ σκῆνος εὑρόντες οἱ τοῦ Γοματίου κάτοικοι εὐωδιάζον, ἐνεταφίσαν εὐλαβῶς ἔν τινι

τόπῳ παρὰ τὴν ὁδὸν τὴν ἄγουσαν εἰς τὴν κώμην, τούτου θαυμαστῶς βαρυνθέντος καὶ μὴ δυναμένων τῶν μεταφορέων ἔτι περαιτέρω αὐτὸν ἆραι. Εἶτα, ἐπὶ τοῦ τάφου αὐτοῦ ἤγειραν ναὸν πρὸς τιμὴν αὐτοῦ. Ὁ Κύριος ἠξίωσεν αὐτὸν θαύματα ἐπιτελεῖν μετὰ πότμον καὶ ἰδίως τὰς νόσους τῶν ὤτων θεραπεύειν. Ἡ μνήμη αὐτοῦ γεραίρεται τῇ 1ῃ Μαΐου καὶ τῷ 1ῳ Σαββάτῳ τοῦ Μαΐου.

Ὁ Ὅσιος Γερβάσιος, ἠσκήτευσε ἐν τῇ Μονῇ τοῦ Καρακάλλου, ἔνθα περιήρχετο μιμούμενος τὸν βίον τῶν διὰ Χριστὸν σαλῶν. Πατρίδα καὶ οὗτος ἔσχε τὴν κώμην τοῦ Γοματίου Χαλκιδικῆς. Σπουδάζων Θεῷ ἀρεσκεῖν μᾶλλον ἢ ἀνθρώποις, μιμητὴς ἐγένετο Συμεὼν καὶ Ἀνδρέου τῶν σαλότητι εὐαρεστησάντων τῷ Κυρίῳ. Ἡ ἁγιότης αὐτοῦ ἐγνώσθη εὐθὺς μετὰ τὴν αὐτοῦ κοίμησιν ἕνεκα τῆς ἀῤῥήτου εὐωδίας τῆς πηγαζούσης ἐκ τοῦ λειψάνου του. Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ 14ῃ Ὀκτωβρίου, καὶ τῷ 1ῳ Σαββάτῳ τοῦ Μαΐου.

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*